eul_wid: diy-ab

*Μέλισσος ὁ Σάμιος* · Melissus of Samos

# On Nature or On Being

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Eleatic

tit,1-10 ΜΕΛΛΙΣΟΥ ΠΕΡΙ ΦΥΣΕΩΣ Η ΠΕΡΙ ΤΟΥ ΟΝΤΟΣ

1 SIMPL. Phys. 162, 24 καὶ Μ. δὲ τὸ ἀγένητον τοῦ ὄντος ἔδειξε τῶι κοινῶι τούτωι χρησάμενος ἀξιώματι· γράφει δὲ οὕτως· ‘ ἀεὶ ἦν ὅ τι ἦν καὶ ἀεὶ ἔστα ι . εἰ γὰρ ἐγένετ ο , ἀναγκαῖόν ἐστι πρὶν γενέσθαι εἶναι μηδέν · εἰ τοίνυν μηδὲν ἦ ν , οὐδαμὰ ἂν γένοιτο οὐδὲν ἐκ μηδενόϲ ‘ .

2 — —29, 22. 109, 20 ‘ ὅτε τοίνυν οὐκ ἐγένετ ο , ἔστι τε καὶ ἀεὶ ἦν καὶ ἀεὶ ἔσται καὶ ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτή ν , ἀλ λ ’ ἄπειρόν ἐστι ν . εἰ μὲν γὰρ ἐγένετ ο , ἀρχὴν ἂν εἶχεν ( ἤρξατο γὰρ ἄν ποτε γενόμενο ν ) καὶ τελευτήν ( ἐτελεύτησε γὰρ ἄν ποτε γενόμενο ν) · ὅτε δὲ μήτε ἤρξατο μήτε ἐτελεύτησε ν , ἀεί τε ἦν καὶ ἀεὶ ἔσται 〈καὶ〉 οὐκ ἔχει ἀρχὴν οὐδὲ τελευτήν · οὐ γὰρ ἀεὶ εἶναι ἀνυστό ν , ὅ τι μὴ πᾶν ἔστι ‘ .

3 — —109, 29 ὅτι δὲ ὥσπερ τὸ ‘ ποτὲ γενόμενον ‘ [B 2] πεπερασμένον τῆι οὐσίαι φησίν, οὕτω καὶ τὸ ‘ἀεὶ ὂν‘ ἄπειρον λέγει τῆι οὐσίαι, σαφὲς πεποίηκεν εἰπών· ‘ ἀλ λ ’ ὥσπερ ἔστιν ἀε ί , οὕτω καὶ τὸ μέγεθος ἄπειρον ἀεὶ χρὴ εἶναι ‘. μέγεθος δὲ οὐ τὸ διάστατόν φησι [vgl. B 10].

4 — —110, 2 καὶ ἐφεξῆς δὲ τῶι ἀιδίωι τὸ ἄπειρον κατὰ τὴν οὐσίαν συνέταξεν εἰπών· ‘ ἀρχήν τε καὶ τέλος ἔχον οὐδὲν οὔτε ἀίδιον οὔτε ἄπειρόν ἐστιν ‘, ὥστε τὸ μὴ ἔχον ἄπειρόν ἐστιν.

5 — —110, 5 ἀπὸ δὲ τοῦ ἀπείρου τὸ ἓν συνελογίσατο ἐκ τοῦ ‘ εἰ μὴ ἓν εἴ η , περανεῖ πρὸς ἄλλο ‘. τοῦτο δὲ αἰτιᾶται Εὔδημος [fr. 9 Sp.] ὡς ἀδιορίστως λεγόμενον γράφων οὕτως ‘εἰ δὲ δὴ συγχωρήσειέ τις ἄπειρον εἶναι τὸ ὄν, διὰ τί καὶ ἕν ἐστιν; οὐ γὰρ δὴ διότι πλείονα, περανεῖ πηι πρὸς ἄλληλα. δοκεῖ γὰρ ὁ παρεληλυθὼς χρόνος ἄπειρος εἶναι περαίνων πρὸς τὸν παρόντα. πάντηι μὲν οὖν ἄπειρα τὰ πλείω τάχα οὐκ ἂν εἴη, ἐπὶ θάτερα δὲ φανεῖται ἐνδέχεσθαι. χρὴ οὖν διορίσαι, πῶς ἄπειρα οὐκ ἂν εἴη, εἰ πλείω‘

6 SIMPL. de caelo 557, 14 τοῦ γὰρ αἰσθητοῦ ἐναργῶς εἶναι δοκοῦντος, εἰ ἓν τὸ ὄν ἐστιν, οὐκ ἂν εἴη ἄλλο παρὰ τοῦτο. λέγει δὲ Μ. μὲν ‘ εἰ γὰρ 〈ἄπειρον〉 εἴ η , ἓν εἴη ἄν · εἰ γὰρ δύο εἴ η , οὐκ ἂν δύναιτο ἄπειρα εἶνα ι , ἀλ λ ’ ἔχοι ἂν πείρατα πρὸς ἄλληλα ‘, Παρμενίδης δὲ ‘οὖλον ... ἀγένητον‘ [28 B 8, 4].

7 —Phys. 111, 18 λέγει δ’ οὖν Μ. οὕτως τὰ πρότερον εἰρημένα συμπεραινόμενος καὶ οὕτως τὰ περὶ τῆς κινήσεως ἐπάγων· (1) ‘ οὕτως οὖν ἀίδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν καὶ ὅμοιον πᾶ ν . (2 ) καὶ οὔ τ ’ ἂν ἀπόλοιτο οὔτε μεῖζον γίνοιτο οὔτε μετακοσμέοιτο οὔτε ἀλγεῖ οὔτε ἀνιᾶται · εἰ γάρ

τι τούτων πάσχο ι , οὐκ ἂν ἔτι ἓν εἴ η . εἰ γὰρ ἑτεροιοῦτα ι , ἀνάγκη τὸ ἐὸν μὴ ὁμοῖον εἶνα ι , ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐό ν , τὸ δὲ οὐκ ἐὸν γίνεσθα ι . εἰ τοίνυν τριχὶ μιῆι μυρίοις ἔτεσιν ἑτεροῖον γίνοιτ ο , ὀλεῖται πᾶν ἐν τῶι παντὶ χρόνω ι . (3 ) ἀλ λ ' οὐδὲ μετακοσμηθῆναι ἀνυστόν · ὁ γὰρ κόσμος ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται οὔτε ὁ μὴ ἐὼν γίνετα ι . ὅτε δὲ μήτε προσγίνεται μηδὲν μήτε ἀπόλλυται μήτε ἑτεροιοῦτα ι , πῶς ἂν μετακοσμηθὲν τῶν ἐόντων εἴ η ; εἰ μὲν γάρ τι ἐγίνετο ἑτεροῖο ν , ἤδη ἂν καὶ μετακοσμηθεί η . (4 ) οὐδὲ ἀλγεῖ · οὐ γὰρ ἂν πᾶν εἴη ἀλγέον · οὐ γὰρ ἂν δύναιτο ἀεὶ εἶναι χρῆμα ἀλγέον · οὐδὲ ἔχει ἴσην δύναμιν τῶι ὑγιεῖ · οὐ δ ' ἂν ὁμοῖον εἴ η , εἰ ἀλγέοι · ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι ἢ προσγινομένο υ , κοὐκ ἂν ἔτι ὁμοῖον εἴ η . (5 ) οὐ δ ' ἂν τὸ ὑγιὲς ἀλγῆσαι δύναιτο · ἀπὸ γὰρ ἂν ὄλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐό ν , τὸ δὲ οὐκ ἐὸν γένοιτ ο . (6 ) καὶ περὶ τοῦ ἀνιᾶσθαι ὡυτὸς λόγος τῶι ἀλγέοντ ι . (7 ) οὐδὲ κενεόν ἐστιν οὐδέν · τὸ γὰρ κενεὸν οὐδέν ἐστιν · οὐκ ἂν οὖν εἴη τό γε μηδέ ν . οὐδὲ κινεῖται · ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῆ ι , ἀλλὰ πλέων ἐστί ν . εἰ μὲν γὰρ κενεὸν ἦ ν , ὑπεχώρει ἂν εἰς τὸ κενόν · κενοῦ δὲ μὴ ἐόντος οὐκ ἔχει ὅκηι ὑποχωρήσε ι . (8 ) πυκνὸν δὲ καὶ ἀραιὸν οὐκ ἂν εἴ η . τὸ γὰρ ἀραιὸν οὐκ ἀνυστὸν πλέων εἶναι ὁμοίως τῶι πυκνῶ ι , ἀλ λ ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνο ῦ . (9 ) κρίσιν δὲ ταύτην χρὴ ποιήσασθαι τοῦ πλέω καὶ τοῦ μὴ πλέω · εἰ μὲν οὖν χωρεῖ τι ἢ εἰσδέχετα ι , οὐ πλέων · εἰ δὲ μήτε χωρεῖ μήτε εἰσδέχετα ι , πλέω ν . ( 1 0 ) ἀνάγκη τοίνυν πλέων εἶνα ι , εἰ κενὸν μὴ ἔστι ν . εἰ τοίνυν πλέων ἐστί ν , οὐ κινεῖτα ι.

8 SIMPL. de caelo 558, 19 [vgl. A 14] εἰπὼν γὰρ περὶ τοῦ ὄντος ὅτι ἕν ἐστι καὶ ἀγένητον καὶ ἀκίνητον καὶ μηδενὶ κενῶι διειλημμένον, ἀλλ' ὅλον ἑαυτοῦ πλῆρες, ἐπάγει· (1) ' μέγιστον μὲν οὖν σημεῖον οὗτος ὁ λόγο ς , ὅτι ἓν μόνον ἔστιν · ἀτὰρ καὶ τάδε σημεῖ α . (2 ) εἰ γὰρ ἦν πολλ ά , τοιαῦτα χρὴ αὐτὰ εἶνα ι , οἷόν περ ἐγώ φημι τὸ ἓν εἶνα ι . εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ σίδηρος καὶ χρυσό ς , καὶ τὸ μὲν ζῶον τὸ δὲ τεθνηκό ς , καὶ μέλαν καὶ λευκὸν καὶ τὰ ἄλλ α , ὅσα φασὶν οἱ ἄνθρωποι εἶναι ἀληθ ῆ , εἰ δὴ ταῦτα ἔστ ι , καὶ ἡμεῖς ὀρθῶς ὁρῶμεν καὶ ἀκούομε ν , εἶναι χρὴ ἕκαστον τοιοῦτο ν , οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖ ν , καὶ μὴ μεταπίπτειν μηδὲ γίνεσθαι ἑτεροῖο ν , ἀλλὰ ἀεὶ εἶναι ἕκαστο ν , οἷόν πέρ ἐστι ν . νῦν δέ φαμεν ὀρθῶς ὁρᾶν καὶ ἀκούειν καὶ συνιέναι · (3 ) δοκεῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι καὶ τὸ ψυχρὸν θερμὸν καὶ τὸ σκληρὸν μαλθακὸν καὶ τὸ μαλθακὸν σκληρὸν καὶ τὸ ζῶον ἀποθνήισκειν καὶ ἐκ μὴ ζῶντος γίνεσθα ι , καὶ ταῦτα πάντα ἑτεροιοῦσθα ι , καὶ ὅ τι ἦν τε καὶ ὃ νῦν οὐδὲν ὁμοῖον εἶνα ι , ἀλ λ ' ὅ τε σίδηρος σκληρὸς ἐὼν τῶι δακτύλωι κατατρίβεσθαι ὁμουρέω ν , καὶ χρυσὸς καὶ λίθος καὶ ἄλλο ὅ τι ἰσχυρὸν δοκεῖ εἶναι πᾶ ν , ἐξ ὕδατός τε γῆ καὶ λίθος γίνεσθαι · ὥστε συμβαίνει μήτε ὁρᾶν μήτε τὰ ὄντα γινώσκει ν . (4 ) οὐ τοίνυν ταῦτα ἀλλήλοις ὁμολογε ῖ . φαμένοις γὰρ εἶναι πολλὰ καὶ ἀίδια (? ) καὶ εἴδη τε καὶ ἰσχὺν ἔχοντ α , πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρωμένο υ . (5 ) δῆλον τοίνυ ν , ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δοκεῖ εἶναι · οὐ γὰρ ἂν μετέπιπτε ν , εἰ ἀληθῆ ἦν · ἀλ λ ' ἦν οἷόν περ ἐδόκει ἕκαστον τοιοῦτο ν . τοῦ γὰρ ἐόντος ἀληθινοῦ κρεῖσσον οὐδέ ν . (6 ) ἢν δὲ μεταπέση ι , τὸ μὲν ἐὸν ἀπώλετ ο , τὸ δὲ οὐκ ἐὸν γέγονε ν . οὕτως οὖ ν , εἰ πολλὰ εἴ η , τοιαῦτα χρὴ εἶνα ι , οἷόν περ τὸ ἕ ν.

9 SIMPL. Phys. 87, 6 ὅτι γὰρ ἀσώματον εἶναι βούλεται τὸ ὄν [Mel.], ἐδήλωσεν εἰπών· ' εἰ μὲν οὖν εἴ η , δεῖ αὐτὸ ἓν εἶναι · ἓν δ ' ἐὸν δεῖ αὐτὸ σῶμα μὴ ἔχει ν . εἰ δὲ ἔχοι πάχο ς , ἔχοι ἂν μόρι α , καὶ οὐκέτι ἓν εἴ η.

10 — —109, 32 μέγεθος δὲ οὐ τὸ διαστατόν φησιν· αὐτὸς γὰρ ἀδιαίρετον τὸ ὂν δείκνυσιν· ' εἰ γὰρ διήρητα ι , φησ ί , τὸ ἐό ν , κινεῖται · κινούμενον δὲ οὐκ ἂν εἴη '. ἀλλὰ μέγεθος τὸ δίαρμα αὐτὸ λέγει τῆς ὑποστάσεως.

11 PALAEPHAT. de incredib. p. 22, 1 Festa ἀεὶ δὲ ἔγωγε ἐπαινῶ τοὺς συγγραφέας Μέλισσον καὶ Λαμίσκον τὸν Σάμιον ἐν ἀρχῆι λέγοντας· ' ἔστιν ἃ ἐγένετο νῦν καὶ 〈ἀεὶ〉 ἔσται '.

Eulogikon public reading copy · View original HTML at eulogikon.org